# ΞΕΝΟΦΩΝΤΟΣ

## ΚΥΡΟΥ ΑΝΑΒΑΣΕΩΣ.

Κύρου Ἀνάβασις ἐπιγέγραπται τὸ σύγγραμμα τοῦτο τοῦ Ξενοφῶντος, ὡς περιέχον τὴν διήγησιν τῆς ἐκστρατείας δέκα χιλιάδων Ἑλλήνων μετὰ Κύρου τοῦ νεωτέρου κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἀρταξέρξου, βασιλέως τῆς Περσίας, καὶ τῆς ἐκεῖθεν ἐπιστροφῆς αὐτῶν, στρατηγουμένων ὑπὸ τοῦ συγγραφέως. Λέγεται δὲ νεώτερος ὁ Κῦρος οὗτος καθ' ὃ ἀπόγονος τοῦ ἑτέρου, τοῦ ἥρωος τῆς Κύρου Παιδείας.

### ΒΙΒΛΙΟΝ Α΄. ΚΕΦΑΛΑΙΟΝ Α΄.

Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος· ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετό οἱ τὼ παῖδε ἀμφοτέρω παρεῖναι. Ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύγχανε· Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην ἐποίησε, καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων, ὅσοι εἰς Καστωλοῦ[1] πεδίον ἀθροίζονται. Ἀναβαίνει οὖν ὁ Κῦρος, λαβὼν Τισσαφέρνην ὡς φίλον, καὶ τῶν Ἑλλήνων δὲ ἔχων ὁπλίτας ἀνέβη τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παῤῥάσιον[2]. Ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος, καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν ὡς ἐπιβουλεύοι αὐτῷ. Ὁ δὲ πείθεταί τε καὶ συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν. Ὁ δ' ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ[3] τῷ ἀδελφῷ, ἀλλ', ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Ὅστις δ' ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτόν, πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο, ὥσθ' ἑαυτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ. Καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο, ὡς πολεμεῖν τε ἱκανοὶ εἴησαν καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ. Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν, ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρασκευαστότατον λάβοι βασιλέα. Ὧδε οὖν ἐποιεῖτο τὴν συλλογήν· ὁπόσας εἶχε φυλακὰς ἐν ταῖς πόλεσι, παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι· καὶ γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον, ἐκ βασιλέως δεδομέναι· τότε δ' ἀφεστήκεσαν πρὸς Κῦρον πᾶσαι πλὴν Μιλήτου. Ἐν Μιλήτῳ δὲ Τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους, ἀποστῆναι πρὸς Κῦρον, τοὺς μὲν αὐτῶν ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν. Ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ

1) Καστωλὸς, πόλις τῆς Λυδίας, περὶ τὴν εὐρύχωρον πεδιάδα τῆς ὁποίας συνήρχοντο τὰ στρατεύματα τῶν ἐπαρχιῶν ἐκείνων. 2) Παῤῥασίας, τῆς ἐν Ἀρκαδίᾳ πόλεως καὶ ἐπαρχίας. 3) Εἰς τὴν ἐξουσίαν τοῦ ἀδελφοῦ του.